ἀρκοῦν παρῇ τι πρὸς νοσήματος βίαν,
ἄλλως τ᾽ ἀκεσμοῖς φαρμάκοις τε συμφόροις,
ἰσοῤῥόποις μέντοιγε τῆσδε τῷ σθένει.
ἄκεσμ᾽ ἅπαν ξύμμετρον εἶναι γὰρ δέον,
μήτ᾽ ἐλλιπές τι, μηθ᾽ ὑπερτεροῦν σθένους
τοῦ τῆσδε μηδέν, ὡς ἐναλλὰξ καὶ τόδε·
ἄλλως γὰρ οὐδέν, ἢ πλέον δράσειέ τι,
κοὐκ ὠφελήσει, πημονῆς δ᾽ οἴσει πλέον.
Δ. Ἔνθα σχεδὸν δὲ τῆσδ᾽ ἐμειώθη σθένος,
ἤγ᾽ ἐκλέλοιπε, πῶς ὅδε προσαρκέσῃ
ταύτῃ γε φαρμάκοισι καίτοι συμφόροις;
μᾶλλον δ᾽ ἀμαλδύνειε ταύτην ἐσχάτως.
Ε. Πᾶν φάρμακον δράσει γὰρ αὐτοῦ τὴν δράσιν,
ἥγ᾽ ἐμπέφυκε τῷδε, ληφθὲν ὡς δέον,
ἰσόῤῥοπον ταύτην δὲ φύσεως σθένει·
τούτου γε μὴν πέλοντος ἠμαυρωμένου,
ἢ μείζονα δράσειεν, ἢ μηδ᾽ ἂν μίαν.
εἰ τοῦτο· φροῦδη πᾶσα χρῆσις φαρμάκων·
εἰ δ᾽ αὖ τὸ πρῶτον· οὐκ ἰσόῤῥοπος δράσις
ὑπέρμετρος δέ· τοιγὰρ ἐκλύσει πλέον
ἡ δραστικωτέρα γε φαρμάκων δράσις
φύσιν πέλουσαν καὶ πρὶν ἀδρανεστέραν·
καὶ δὴ κατασβέσειε πᾶν τῆσδε σθένος,
ὡς μηκέτι δρᾶν φάρμακον πᾶν ὡς δέον,
ἀρθέντος ἄρδην ἐκ μέσου τοῦ ξυμμέτρου,
ἐναντίαν πάντῃ δὲ δεικνύναι δράσιν,

ἢ